# ΔΙΑΒΕΒΑΙΩΣΙΣ ΠΡΩΤΟΕΤΩΝ ΦΟΙΤΗΤΩΝ

Εὐδοκίᾳ καὶ χάριτι τοῦ ἐν Τριάδι Παναγίου Θεοῦ ἡμῶν, ἀνακηρυχθέντες πρωτοετεῖς φοιτηταὶ τοῦ ἐν Πάτραις Πανεπιστημίου, χαίροντες βεβαίωσιν καὶ πίστιν παρέχομεν τήνδε πρὸ τοῦ Προέδρου καὶ τῶν ἡμετέρων Καθηγητῶν :

Τὴν τήρησιν τῶν Πανεπιστημιακῶν νόμων πρόφρονες πάνυ ὑπισχνούμεθα.

Τῆς Ἐπιστήμης μεταλαβεῖν πειρώμενοι, ταύτης τε καὶ τῆς ποτνίας Πατρίδος καὶ τῆς ἱερᾶς ἡμῶν Θρησκείας θεράποντες καὶ μύσται πιστοὶ γενησόμεθα, ὡς τῶν τριῶν τούτων εἰς προκοπὴν καὶ ἐπιβίωσιν τοῦ αἰωνίου ἡμῶν Ἔθνους μάλιστα συντελούντων.

Τὴν ἐπιστήμην οὐ μόνην, ἀλλ᾿ ἀεὶ μετὰ χρηστότητος καὶ ἤθους συνεζευγμένην ἀσκήσομεν καὶ οὐ δοκεῖν μόνον, ἀλλὰ καὶ εἶναι ἄριστοι ἐπιτηδεύσομεν ἐν τῷ βίῳ. Πνεῦμα δὲ κατ᾿ ἐπιστήμην ἐμπεδώσομεν, ὅση ἡμῖν δύναμις, ἀεὶ ἐνθυμούμενοι, ὅτι κακῆς παιδείας κρείττων ἡ ἀπαιδευσία, νοῦς γὰρ μὴ βέβαιος ἄδικον κτῆμα.

Τὴν ἀρετὴν καὶ δίχα ὑποσχέσεως ὡς ἔργον ἀσκήσομεν, τὸ δὲ φαῦλον καὶ ἐπιταττόμενοι οὐ ποιήσομεν. Πλεῖον γὰρ ἡμῖν ἤθους καὶ ἀρετῆς ἐθέλομεν ἢ λογιότητος ἐγγενέσθαι. Περὶ πᾶν δὲ τὸ καλὸν διαγωνιζόμενοι καὶ ἁμιλλώμενοι ἐν τῷ βίῳ τούτῳ, φρονήσει καὶ δικαιοσύνῃ τοῦτο διαπραξόμεθα, οὐ βίᾳ καὶ ἀπάτῃ. Ἐν χαλεποῖς δὲ καιροῖς, τότε δὴ καὶ Πατρίδος καὶ Ἤθους καὶ Ἐπιστήμης ἀνθεξόμεθα, γιγνώσκοντες, ὅτι καὶ ἐπὶ δοκιμασίαις ἡμᾶς ὁ Θεὸς ἐφύτευσε, ταῖς τὴν ψυχὴν καθαιρούσαις.

Ὡς Ἕλληνες δὲ πολῖται πρὸς πατέρας καὶ προπάτορας ἀνατείνοντες, οἱ τὴν Ἑλλάδα τιμίαν ἐν ἀνθρώποις καὶ ἔνδοξον ἀπέδειξαν, τούτων μαθηταὶ γενέσθαι πειρασόμεθα, ὧν υἱοὶ καὶ ἀπόγονοι ὑπάρχομεν. Τὸ ἄρχειν δὲ καὶ ἄρχεσθαι ὡς ἱερὰν ὑποθήκην εἴη ἡμῖν ἀσκῆσαι, ὡς τούτου σὺν ἐπιστήμῃ μάλιστα τὴν σεπτὴν προάγοντας Πατρίδα, φιλτάτην καὶ τιμιωτάτην ἡμῖν ἀεὶ ἐσομένην ἐν τῷ βίῳ.

Εὐόρκως οὖν τὰς ἐπαγγελίας ἡμῶν ταύτας καὶ ἀπαρεγκλίτως τηροῦσι, γένοιτο ἡμῖν ὁ Θεὸς βοηθὸς ἐν τῷ βίῳ.